Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: bbs-ab

*Θέογνις ὁ Μεγαρεύς* · Theognis of Megara

# Dubious Fragments

## *Ἀποσπάσματα ἀμφίβολα*

**Period:** *Ἀρχαϊκή* Archaic
**Dialect:** *Ἰωνικὴ Ἐλεγειακή* Ionic Elegiac
**Domain:** *Ἱστορία* History
**Format:** *Πεζός* Prose

1 ὑμεῖς δ’, ὦ Μεγαρεῖς, οὔτε τρίτοι οὔτε τέταρτοι οὔτε δυωδέκατοι οὔτ’ ἐν λόγωι οὔτ’ ἐν ἀριθμῶι.

2 … φόρμιγγα ἄχορδον …

3 βόμβων ἐπαινήσω, 〈Πολυπαίδη〉 …

4 Μήποτέ μοι πενίην θυμοφθόρον ἀνδρὶ χαλεφθείς, μηδ’ ἀχρημοσύνην, Κύρνε, κακὴν πρόφερε. Ζεὺς γάρ τοι τὸ τάλαντον ἐπιρρέπει ἄλλοτε ἄλλως, ἄλλοτε μὲν πλουτεῖν, ἄλλοτε μηδὲν ἔχειν.

4 χρὴ δ’ ἀεὶ κατὰ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης δίζεσθαι χαλεπῆς, Κύρνε, λύσιν πενίης.

5 Κύρν’, ἀγαθὸς μὲν ἀνὴρ γνώμην ἔχει ἔμπεδον αἰεί, τολμᾶι δ’ ἔν τ’ ἀγαθοῖς κείμενος ἔν τε κακοῖς. εἰ δὲ θεὸς κακῶι ἀνδρὶ βίον καὶ πλοῦτον ὀπάσσηι ἀφραίνων βίοτον οὐ δύναται κατέχειν.

6 Πολλοῖς’ ἀνθρώπων γλώσσηι θύρα οὐκ ἐπίκειται ἁρμοδίη, καί σφιν πόλλ’ ἀλάλητα πέλει. πολλάκι γὰρ τὸ κακὸν κατακείμενον ἔνδοθεν ἦλθεν· ἐσθλὸν δ’ ἐξελθεῖν λώιον ἢ τὸ κακόν.

7 ’Εν πυρὶ μὲν χρυσόν τε καὶ ἄργυρον ἴδριες ἄνδρες γινώσκους’, ἀνδρὸς δ’ οἶνος ἔδειξε νόον, καὶ μάλα περ πινυτοῦ· κακότητα δὲ πᾶσαν ἐλέγχει, ὥστε καταισχύνειν καὶ τὸν ἐόντα σοφόν.

8 Οἶνος πινόμενος πολὺς κακός· ἢν δέ τις αὐτὸν πίνηι ἐπισταμένως, οὐ κακός, ἀλλ’ ἀγαθός.

9 Οὐδένα θησαυρὸν καταθήσεαι ἔνδον ἀμείνω αἰδοῦς, ἣν ἀγαθοῖς’ ἀνδράσι, Κύρνε, διδῶις.

10 Χρῆμα γυναικὸς ἀνὴρ ἐσθλῆς λαίζεται οὐδὲν κάλλιον, 〈οὐδέ ποτ’ αὖ ῥίγιον ἄλλο κακῆς.〉

Eulogikon public reading copy · View original HTML at eulogikon.org